A

# ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΒΑΤΡΑΧΟΙ.

## ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΠΡΩΤΟΥ Σκηνὴ πρώτη.

### ΞΑΝΘΙΑΣ, ΔΙΟΝΥΣΟΣ.

B

Εἴπω τι τῶν εἰωθότων ὦ δέσποτα,
Ἐφ᾽ οἷς ἀεὶ γελῶσιν οἱ θεώμενοι;
Δι. Νὴ τὸν Δί᾽, ὅ, τι βούλει γε, πλὴν πιέζομαι,
Τοῦτο δὲ φύλαξαι. πάνυ γάρ ἐστ᾽ ἤδη χολή.
Ξανθ. Μηδ᾽ ἕτερον ἀστεῖόν τι; Διόν. πλήν γ᾽, ὡς θλίβομαι.
Ξανθ. Τί δαί, τὸ πάνυ γέλοιον εἴπω; Διον. νὴ Δία. C
Θαρρῶν γ᾽, ἐκεῖνο μόνον ὅπως μὴ 'ρεῖς. Ξαν. τὸ τί;
Διον. Μεταβαλλόμενος τἀνάφορον, ὅτι χεζητιᾷς.
Ξανθ. Μηδ᾽ ὅτι τοσοῦτον ἄχθος ἐπ᾽ ἐμαυτῷ φέρων,
Εἰ μὴ καθαιρήσει τις, ἀποπαρδήσομαι.
Δι. μὴ δῆθ᾽, ἱκετεύω, πλήν γ᾽ ὅταν μέλλω 'ξεμεῖν. D
Ξανθ. Τί δῆτ᾽ ἔδει με ταῦτα τὰ σκεύη φέρειν;
Εἴπερ ποιήσω μηδέν, ὧνπερ Φρύνιχος
Εἴωθε ποιεῖν, καὶ Λύκις, κ᾽ Ἀμειψίας,
Σκεύη φέρουσ᾽ ἑκάστοτ᾽ ἐν κωμῳδίᾳ;
Δι. Μὴ νῦν ποιήσῃς, ὡς ἐγὼ θεώμενος,
Ὅταν τι τούτων τῶν σοφισμάτων ἴδω, E

# ARISTOPHANIS RANÆ.

## ACTVS I. SCENA I.

### XANTHIAS, BACCHVS.

*Loquar né here vsitata, & quorum gratia*
*Risum subinde edere spectatores solent?*
BA. *Imò vt lubet: modò ne istud proferas, premor.*
XA. *At neque aliud quiddam vrbanum?* BA. *modò ne vt premor,*
*Caue isthoc.* XA. *Quid igitur? an nō eloquar, quod maximè Sit ridiculum?* BA. *Imò loquere audacter per (Iouem:* C
*Illud duntaxat ne mihi, quæso dixeris.*
XA. *Quid illud?* BA. *nempe, ne, sportam dum fers super*
*Humerum, & crebrò reijcis ex vno in alterum,*
*Dicas cacaturire te:* XA. *at neque hoc loquar,*
*Quòd tantū onus ferā: vt, nisi me quis hominū* D
*Eo iam subleuet, crepitum emittere velim.*
BA. *Nequaquam id aies, nisi cùm ego vomere cœpero.*
XA. *At quorsum oportebat me ferre hæc stra- (gula:*
*Si nihil eorum fecero quæ Phrynichus,*
*Lycis, atque Amipsias ijs facere solent,*
*Quos fingunt vasa gestare in comœdiis.*
BA. *Caue hoc faxis, nā quoties ego huiusmodi*
E *Lenociniorum, & præstigiarum quidpiam*

Σχόλια. Εἴπω τι τῶν εἰωθότων.] ἀντὶ τοῦ τῶν εἰθισμένων. μετοχὴ ἀντὶ τοῦ ὀνόματος. καὶ Ὅμηρος. τὸν δ᾽ αὖ Τηλέμαχος πεπνυμένος. ἀντὶ τοῦ πινυτός. ὁ Ξανθίας δὲ ἐπὶ ὄνου περιάγεται καθεζόμενος ἔχων ἐπὶ τῶν ὤμων ἀνάφορον, ὅπου ἦν τὰ στρώματα γελοίου χάριν. διὸ καὶ ἀστεῖόν τι λέξαι βουλόμενος, ὑπὸ Διονύσου κωλύεται. εὐθὺς δὲ ἐν τῇ εἰσβολῇ διαβάλλει τούς τε κωμῳδοὺς ὡς γελοίοις χρωμένους καὶ περιτρέποντας τοὺς θεατὰς ἀπὸ τῆς ἀκριβείας. Νὴ Δί᾽ ὅτι βούλει γε.] ἴδιον αὐτοῦ, τὸ εἰς ταῦτα ὀλισθαίνειν ὡς καὶ ἐν Θεσμοφοριαζούσαις θεράπων φησὶν ὡς διάγε τοῦτο τοὔπος, οὐ δύναμαι σκεύη φέρειν τοσαῦτα, καὶ τὸν ὦμον θλίβομαι. ἐνταῦθα δέ φησιν ὅτι οὐ δύναμαι ἀνέχεσθαι τοῦ θλίβομαι λεγομένου.

F

Bisetus. Πλὴν πιέζομαι] ὁ νοῦς οὗτος. εἰπὲ ὅ, τι βούλει. ἀλλὰ τοῦτο μόνον μὴ λέξῃς σὲ πιέζεσθαι, καὶ βαρύνεσθαι καὶ θλίβεσθαι τῷ βάρει τῶν σκευῶν, ἃ ἐπὶ τῶν ὤμων φέρεις.

Σχόλια. Πάνυ γάρ ἐστ᾽ ἤδη χολή.] ἀντὶ τοῦ πολύ. τὸ δὲ πολὺ κἂν ᾖ γλυκύ, πονηρόν ἐστιν. ἄλλως. ὡσεὶ ἔλεγε ναυτία, διὰ τὸ πολλὴν γίνεσθαι τὴν παιδιὰν ταύτην. συνεχῶς γὰρ εἰσῆγον τοὺς τὰ τοιαῦτα λέγοντας. Γέλοιον.] Ἀττικῶς, γελοῖον δὲ κοινόν. ἡ δὲ σημασία ἡ αὐτή. G

Bisetus. Μὴ 'ρεῖς] μὴ ἐρεῖς, μὴ λέξεις, φύλαξαι μὴ λέγῃς.

Σχόλια. Μεταβαλλόμενος] μεταφέρων ἀποτιθεὶς ἀπὸ ὤμου εἰς ὦμον. τἀνάφορον δὲ ξύλον ἀμφίκοιλον ἐν ᾧ τὰ φορτία ἐξαρτήσαντες οἱ ἐργάται βαστάζουσι. Μή δ᾽ ὅτι τοσοῦτον.] μὴ οὕτω ποιήσαιμι καί τοι ἄχθος τοσοῦτον φέρων. Ἀποπαρδήσομαι.] εἰς τὸ αὐτὸ κατέλυσεν ὡς δῆθεν ἄκων. Πλήν γ᾽ ὅταν μέλλω 'ξεμεῖν.] οἷον, εἰ ὅλως λέγεις, τότε φησὶ λέγε ἂν θέλῃς ἐπιτηρήσας, ὅτε μέλλω 'ξεμεῖν. ῥᾶστα γὰρ ἐξεμέσαιμι ἐὰν εἴπῃς. Φρύνιχος.] Δίδυμός φησιν, ὅτι νῦν Φρυνίχου τοῦ κωμικοῦ μέμνηται, ὡς παρ᾽ ἕκαστα ἐν ταῖς κωμῳδίαις φορτικευομένου. ἔστι δὲ πατρὸς Εὐνομίδου, κωμῳδεῖται δὲ ὡς ξένος. καὶ ἐπὶ φαυλότητι ποιημάτων. καὶ ὡς ἀλλότρια λέγων καὶ ὡς κακόμετρα. εἰσὶ δὲ καὶ ἄλλοι τρεῖς Φρύνιχοι. Φρύνιχος δὲ ὁ κωμικὸς οὐδὲν τούτων ἐποίησεν ἐν τοῖς σωζομένοις ἑαυτοῦ. εἰκὸς δὲ ἐν τοῖς ἀπολωλόσιν εἶναι αὐτοῦ τοιοῦτό τι. Λύκις.] κωμῳδίας ποιητής. ὡς ψυχρὸς κωμῳδεῖται. λέγει δὲ αὐτὸν καὶ Λύκον. οὐ οὐδὲν φέρεται. ὁ δὲ νοῦς εἴπερ ποιήσω μηδὲν ὧν οὗτοι εἰώθασι ποιεῖν τοῖς σκευοφοροῦσιν. ἵνα τὸ φέρουσι σημαίνῃ πλῶσιν δολικήν. ἡ δὲ γραφὴ, τριχῶς. ἡ γράφεται σκευηφοροῦσιν. ἢ σκεύη φέρουσιν. ἢ σκευοφοροῦσιν. ἀντὶ τοῦ σκευοφόρους ἄνδρας ποιοῦσιν. ἔστι δὲ βεβιασμένος ὁ λόγος, εἴπερ ποιήσω μηδὲν ὧν οὗτοι ποιοῦσι σκευηφοροῦντας εἰσάγοντες μετὰ πολλῶν. λείπει οὖν τὸ, ὧν εἰώθασιν οὗτοι ποιεῖν τοῖς σκευοφόροις.

Πλεῖν